μάλιστα ταύτην βλέποντα ποιητέον τὴν ἐπιμέλειαν. εἴ τε καὶ πρὸς ταύτην, οὐδὲ τοῦτο ἐξευρίσκουσιν. οὔτε γὰρ ἐν τοῖς ἄλλοις ζώοις, οὔτ' ἐπὶ τῶν ἐθνῶν ὁρῶμεν τὴν ἀνδρίαν ἀκολουθοῦσαν τοῖς ἀγριωτάτοις, ἀλλὰ μᾶλλον τοῖς ἡμερωτέροις καὶ λεοντώδεσιν ἤθεσι. πολλὰ δ' ἐστὶ τῶν ἐθνῶν, ἃ πρὸς τὸ κτείνειν, καὶ πρὸς τὴν ἀνθρωποφαγίαν εὐχερῶς ἔχει, καθάπερ τῶν περὶ τὸν Πόντον Ἀχαιοί τε καὶ Ἡνίοχοι, καὶ τῶν ἠπειρωτικῶν ἐθνῶν ἕτερα· τὰ μὲν ὁμοίως τούτοις, τὰ δὲ μᾶλλον, ἃ λῃστικὰ μέν ἐστιν, ἀνδρίας δ' οὐ μετειλήφασιν. ἔτι δ' αὐτοὺς τοὺς Λάκωνας ἴσμεν, ἕως μὲν αὐτοὶ προσήδρευον ταῖς φιλοπονίαις, ὑπερέχοντας τῶν ἄλλων· νῦν δὲ καὶ τοῖς γυμνασίοις καὶ τοῖς πολεμικοῖς ἀγῶσι λειπομένους ἑτέρων. οὐ γὰρ τῷ τοὺς νέους γυμνάζειν τὸν τρόπον τοῦτον διέφερον, ἀλλὰ τῷ μόνον μὴ πρὸς ἀσκοῦντας ἀσκεῖν. ὥστε τὸ καλὸν, ἀλλ' οὐ τὸ θηριῶδες δεῖ πρωταγωνιστεῖν. οὐ γὰρ λύκος, οὐδὲ τῶν ἄλλων θηρίων τι, ἀγωνίσαιτο ἂν οὐδένα καλὸν κίνδυνον, ἀλλὰ μᾶλλον ἀνὴρ ἀγαθός. οἱ δὲ λίαν εἰς ταῦτα ἀνέντες τοὺς παῖδας, καὶ τῶν ἀναγκαίων ἀπαιδαγωγήτους ποιήσαντες, βαναύσους κατεργάζονται κατά γε τὸ ἀληθές· πρὸς ἕν τε μόνον ἔργον τῇ πολιτικῇ χρησίμους ποιήσαντες, καὶ πρὸς τοῦτο χεῖρον, ὥς φησιν ὁ λόγος, ἑτέρων. δεῖ δὲ οὐκ ἐκ τῶν προτέρων ἔργων κρίνειν, ἀλλ' ἐκ τῶν νῦν· ἀνταγωνιστὰς γὰρ τῆς παιδείας νῦν ἔχουσι, πρότερον δ' οὐκ εἶχον. ὅτι μὲν οὖν χρηστέον τῇ γυμναστικῇ, καὶ πῶς χρηστέον, ὁμολογούμενόν ἐστι. μέχρι μὲν γὰρ ἥβης, κουφότερα γυμνάσια προσοιστέον, τὴν βίαιον τροφὴν καὶ τοὺς πρὸς ἀνάγκην πόνους ἀπείργοντας, ἵνα μηδὲν ἐμπόδιον ᾖ πρὸς τὴν αὔξησιν. σημεῖον γὰρ οὐ μικρὸν ὅτι δύνανται τοῦτο παρασκευάζειν· ἐν γὰρ τοῖς ὀλυμπιονίκαις δύο τις ἂν ἢ τρεῖς εὕροι τοὺς αὐτοὺς νενικηκότας ἄνδρας τε καὶ παῖδας, διὰ τὸ νέους ἀσκοῦντας, ἀφαιρεῖσθαι τὴν δύναμιν ὑπὸ τῶν ἀναγκαίων γυμνασίων. ὅταν δ' ἀφ' ἥβης ἔτη τρία πρὸς τοῖς ἄλλοις μαθήμασι γένωνται, τότε ἁρμόττει καὶ τοῖς πόνοις καὶ ταῖς ἀναγκοφαγίαις καταλαμβάνειν τὴν ἐχομένην ἡλικίαν. ἅμα γὰρ τῇ τε διανοίᾳ καὶ τῷ σώματι διαπονεῖν οὐ δεῖ. τοὐναντίον γὰρ ἑκάτερος ἀπεργάζεσθαι πέφυκε τῶν πόνων ἐμποδίζων, ὁ μὲν τοῦ σώματος πόνος, τὴν διάνοιαν, ὁ δὲ ταύτης, τὸ σῶμα.

A maximè respiciendum est ab eo qui curam facit institutionis, & si ad hanc, non tamen id consequuntur, neque enim aliis in animalibus. neque in gẽtibus videmus fortitudinem adesse maximè efferatis, sed potius mansuetioribus & leoninis moribus, multæque sunt gentes, quæ ad cædes hominum, & ad eorum comestionem insultant: vt circa Pontum Achæi & Heniochi, & ex Mediterraneis aliæ gentes similiter his, vel magis: quæ quidem gentes clanculum per insidias latrocinantur, ad B bellica tamen opera nihil valent. Præterea scimus Lacones, dum ipsi soli exercebantur, præstitisse cæteris: nunc autem esse aliis inferiores. non enim ob id præstabant, quòd iuuẽtutem exercerẽt, sed quòd ipsi exercitati contra non exercitatos pugnabant. Itaque honestas, non feritas est in certaminibus præferenda. neque enim lupus, neque alia bestia, honestum periculum pugnando subiret, sed magis vir bo- C nus. Qui verò adolescẽtes in hæc nimium tradunt, & in necessariis absque disciplina dimittunt, verè illos sordidos reddunt, ad vnum enim opus reipublicæ vtiles faciũt, & illud ipsum deterius, vt ratio ostendit, oportet autem non ex prioribus operibus, sed ex his quæ nunc fiunt, iudicare, nam nunc quidem illi qui repugnant, disciplinam habent, tum verò non habebãt. Quòd igitur vtendum sit gymnastica, & quo mo- D do vtendum cõcessum existat, vsque enim ad pubertatem leuiores exercitationes sunt adhibendæ, absque victu illo violento & laboribus coactis, ne corpora crescere impediantur. Signum erit non paruum, quòd ita contingat quia: inter eos qui Olympia vicerunt, duo vel tres tantum reperiuntur, qui iidem adolescentes & viri sint victoriam consecuti: propterea quòd per exercitationes pueris adhibitas subla- E ta sit vis ac robur à violentis laboribus. Post pubertatem verò cùm annis tribus ad alia perdiscenda intenderint, tũc congruit & laboribus & victu necessario illos occupare, nam simul mente & corpore laborare non oportet: cùm se inuicem impedire nata sint: labor quidem corporis, mentem: mentis autem, corpus.

## Κεφάλαιον ε.

Περὶ δὲ μουσικῆς ἔνια μὲν διηπορήσαμεν τῷ λόγῳ καὶ πρότερον· καλῶς δ'

## CAPVT V.

De musica verò dubia quædam posuimus antea. & nunc rectum erit illa